

*Οἱ πρόσφυγες Ἕλληνες παρὰ τοῖς Μεδίκοις.*

» πλείω λέγειν· ἀλλ' ἀρκεῖ καὶ τὰ μικρά τινα τούτων εἰπεῖν *ἵν' εὐθὺς* τὸ εἰκὸς τοῦτο ποιῆται. Δεῖ δέ σε μαθεῖν καὶ τὰς συμφορὰς τῆς ταλαιπώρου πατρίδος, εἰ καὶ μὴ τυγχάνῃς ἀγνοῶν ἐν οἵῳ τε κινδύνῳ καθεστήκαμεν οἱ ταύτην οἰκοῦντες ὅπως ἡμῖν συντεύξαιο καὶ ὅπως τὰ μὲν εὐδαίμονα καλοῦμεν. καὶ καλῶς εἰδώτα τὸ σε δεῖ χρῆσθαι· ἡμᾶς δ' ἀτυχεῖς καὶ μεστοὺς ἀνοίας οὕτω γὰρ νῦν προσήκει κατ' αὐτάς. τὸ πάλαι θρηλούμενον ὑπὸ τῶν πολλῶν ὡς ἥξουσιν οἱ βάρβαροι καὶ περιστοιχήσουσιν τὴν ἡμετέραν πατρίδα· καὶ πᾶσαν ἑλέπολιν ἐπιχειρήσουσιν ὥστε ταύτην ἑλεῖν νῦν εἰς ἔργον ἥκει καὶ φόβος δὴ καὶ κίνδυνος περιεστήκασιν ἡμᾶς· τῶν μὲν βαρβάρων ἔξω τῶν τειχῶν παρακαθημένων τῶν πολιτῶν δ' ἐντὸς κατατρυχομένων· καὶ τοὺς μὲν ἡμετέρους πόνους κατὰ τὸν προφήτην ἐσθιόντων τῶν πολεμίων, ἡμῶν δ' ἐκείνους ὁρώντων. τοῦτο ποιοῦνται, οὐ δυναμένων κωλῦσαι· καὶ οὐ τοῦτο πω δεινὸν καὶ παρὸν δεινόν, ἀλλ' ἀφανίζουσι μὲν ἀγροὺς κατασύρουσι δὲ κώμας· κατασκάπτουσι δὲ πόλεις· ἀπειλοῦσι δ' ἡμᾶς τοιαῦτα οἷα ὀκνῶ μέν τοι εἰπεῖν αὐτοὶ πρὸς σέ, οἶδας δὲ σύ τε καὶ πᾶς ὅστις εὔφρων ἀκριβέστερον ἐμοῦ· καὶ τῶν ἡμετέρων ἀστυγειτόνων κακῶς πασχόντων ἡμῶν δ' οὐκ ἐχόντων ἐκείνοις βοηθῆσαι, παντάπασιν ἀπολώλασιν ἤδη. καὶ μυσῶν λεία γεγένηται τὰ κείνων. τοσαῦτα γὰρ καὶ τηλικαῦτα κακὰ πεπόνθασιν οἱ δυστυχεῖς ὑπὸ τῶν βαρβάρων ὥστε ἐξανδραποδίσαντο αὐτοὺς καὶ δήσαντες τὼ χεῖρε ἀπήγαγον εἰς τὴν αὐτῶν ἀναγκάζοντες δουλείαν, καὶ τοῦτο μὴ οἴου ὡς αὐτοὶ μὲν πεπόνθασιν ὡς ἡμεῖς δ' οὔποτε πεισόμεθα. Ἀλλ' ἴσθι μόλις ἀφίξεται καὶ πρὸς ἡμᾶς τὸ δεινὸν ὥσπερ καταβολὴ πυρετοῦ· τοσοῦτος γὰρ κίνδυνος ἡμῖν περιέστην ὥστε δέδοικα ὀκνῶ δ' ὑμᾶς εἰπεῖν τὸ δύσφημον, *ἀπαίσιτο* γὰρ θεὸς ταυτησὶ τῆς πόλεως. καὶ εἰ μὴ τὸ καλῶς ἄρχειν εἰδότε τὰς ἡνίας τῆς ἀρχῆς παρέσχετο νῦν, οὗτός τε πάντα λίθον κατὰ τὴν παροιμίαν ἐκίνει, πάντα δ' ἔπραττε πρὸς φυλακὴν ἡμετέραν, καὶ προσέτε